Ακαδημία Αθηνών / Academy of Athens

**σχίζειν.** Διαχωρίζω, separate/divide, Φιλόλαος 11.14 *σωματῶν καὶ σ χ ί ζ ω ν τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων.* || **σχίζεσθαι.** Διογένης 6.12-18-24-28 *σ χ ί ζ ε τ α ι δ' αὐτῶν ἄκρα ἑκατέρα ... αἱ δὲ εἰς τὰ σκέλη τείνουσαι (*sc. *φλέβες) σ χ ί ζ ο ν τ α ι κατὰ τὴν πρόσφυσιν ... σ χ ί ζ ο ν τ α ι δὲ καὶ ἐπὶ τὴν κοιλίαν ... σ χ ί ζ ο ν τ α ι εἰς τὴν κεφαλὴν πολλαί.*

**σχιστός.** Σχιστός, split, 'Εμπεδοκλῆς 66 *σ χ ι σ τ ο ὺ ς λειμῶνας ... 'Αφροδίτης.*

**σῴζεσθαι** (ἀντίθ. *διαφθείρεσθαι*). Σώζομαι/διατηροῦμαι, be saved/be preserved, Δημόκριτος 252.4 *πόλις γὰρ εὖ ἀγομένη μεγίστη ὄρθωσίς ἐστι ... καὶ τούτου σ ῳ ζ ο μ έ ν ο υ πάντα σ ῴ ζ ε τ α ι καὶ τούτου διαφθειρομένου τὰ πάντα διαφθείρεται.*

**σῶμα 1.** Σῶμα (ζώου ἢ ἀνθρώπου), body (of animal or man), Ξενοφάνης 15.4 *ἵπποι μέν θ' ἵπποισι βόες δέ τε βουσὶν ὁμοίας καί ⟨κε⟩ θεῶν ἰδέας ἔγραφον καὶ σ ώ μ α τ' ἐποίουν τοιαῦθ' οἷόν περ καὐτοὶ δέμας εἶχον ⟨ἕκαστοι⟩* 'Εμπεδοκλῆς 20.3 *ἄλλοτε μὲν Φιλότητι συνερχόμεν' εἰς ἓν ἅπαντα γυῖα, τὰ σ ῶ μ α λέλογχε, βίου θαλέθοντος ἐν ἀκμῇ* 100.2 *λίφαιμοι σαρκῶν σύριγγες πύματον κατὰ σ ῶ μ α τέτανται* Φιλόλαος 14 *διά τινας τιμωρίας ἁ ψυχὰ τῷ σ ώ μ α τ ι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτῳ τέθαπται* Διογένης 6.6 *ἀπὸ δὲ τούτων καθ' ἅπαν τὸ σ ῶ μ α φλέβες διατείνουσιν* Δημόκριτος A 77 (DK II 103,23) *ἐγκαταβυσσοῦσθαι τὰ εἴδωλα διὰ τῶν πόρων εἰς τὰ σ ώ μ α τ α καὶ ποιεῖν τὰς κατὰ ὕπνον ὄψεις ἐπαναφερόμενα* 9 *ἡμεῖς δὲ τῷ μὲν ἐόντι οὐδὲν ἀτρεκὲς συνίεμεν, μεταπῖπτον δὲ κατά τε σ ώ μ α τ ο ς διαθήκην καὶ τῶν ἐπεισιόντων καὶ τῶν ἀντιστηριζόντων* 31 *ἰατρικὴ μὲν ... σ ώ μ α τ ο ς νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται* 40 *οὔτε σ ώ μ α σ ι ν οὔτε χρήμασιν εὐδαιμονοῦσιν ἄνθρωποι, ἀλλ' ὀρθοσύνῃ καὶ πολυφροσύνῃ* 105 *σ ώ μ α τ ο ς κάλλος ζῳῶδες, ἢν μὴ νοῦς ὑπῇ* 135 *δεξαμεναί:* ὑδάτων δοχεῖα, καὶ *ἐν τῷ σ ώ μ α τ ι φλέβες* 159.1-4 *εἰ τοῦ σ ώ μ α τ ο ς αὐτῇ (*sc. *τῇ ψυχῇ) δίκην λαχόντος ... ἡδέως ἂν καταψηφίσασθαι τῆς ψυχῆς, ἐφ' οἷς τὰ μὲν ἀπώλεσε τοῦ σ ώ μ α τ ο ς ταῖς ἀμελείαις καὶ ἐξέλυσε ταῖς μέθαις* 187.1 *ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σ ώ μ α τ ο ς*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ